Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: kge-ab

*Κωμικὰ Ἀδέσποτα* · Comic Fragments Anonymous III

# Comic Fragments on Human Follies

*Ἀποσπάσματα περὶ Ἀνθρωπίνων Μωριῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Συναγωγή* Collection

FCA 331 ὦ μόνοι ὦτοι τῶν Ἑλλήνων.

FCA 390a ἅτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται τὼ χεῖρέ θ’ ὑποκονίεται.

FCA 390c Μεγαρεῖς δὲ φεῦγε πάντας· εἰσὶ γὰρ πικροί.

FCA 390g ὀκνεῖς λαλεῖν; οὕτω σφόδρ’ εἶ τηθαλλαδοῦς;

FCA 390h ἡ δὲ προὐκαλεῖτό με βαυβᾶν μετ’ αὐτῆς.

FCA 400-401 Ὁ δρῶν τὰ τοῦ μέλλοντος οἴχεται φέρων. Τόλμα τι, κινδύνευε, πρᾶττ’, ἀποτύγχανε, ἐπίτυχε· πάντα μᾶλλον ἢ σαυτὸν προοῦ.

FCA 402 γαστὴρ ὅλον τὸ σῶμα, πανταχῆ βλέπων ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

FCA 403 τί ποτ’ ἐστὶ χλωρόν, ἀντιβολῶ, τὸ χρυσίον;

FCA 403 [[B]] δέδοικ’ ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί. αὐλεῖ Μαριανδυνοῖς καλάμοις * (θρηνῳδίαν) κρούων ἰαστί. αἰσχρὸν δὲ κρίνειν τὰ καλὰ τῷ πολλῷ ψόφῳ. ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον. ἢ χρὴ τραγῳδεῖν πάντας ἢ μελαγχολᾶν. θύραζε Κᾶρες, οὐκέτ’ Ἀνθεστήρια. εἶμι γάρ ἐπ’ αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λόγου. νῦν δὲ σωθείην ἵνα διδάγματ’ ᾖ μοι ταῦτα τοῦ λοιποῦ χρόνου. ἡ γλῶττ’ ἀνέγνωχ’, ἡ δὲ φρὴν οὐ μανθάνει. πᾶς ἐστι δούλῳ δεσπότης μονοσύλλαβος. ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται, ἢ χωλός ἐστιν ἢ οὐ δίδωσι συμβολάς. πλέον δυοῖν σοι χοινίκων ὁ δεσπότης παρέχει. οὗτος πατὴρ τοῦ παιδός· εἰ γὰρ ὤφελεν. περὶ μεγάλων * (γὰρ) πραγμάτων σκοπουμένοις εὐνουστάτη σύμβουλος ἡ παρρησία. Παρρησίαν δὲ παντὸς ὠνοῦ χρυσίου. Ὁ * (δὲ) βίος ἔστ’ ἀλαζονείας δεόμενος. Φύσιν ἔχειν ἄριστόν ἐστι, δεύτερον δὲ * (μανθάνειν). χαλεπὸν γενέσθαι λιμὸν ἐπὶ τῷ δράγματι. Σικελίας αὔχημα τροφαλίς. ὠρθωμένην πρὸς ἅπαντα τὴν ψυχὴν ἔχω. Πρὸς καππάριον ζῆς δυνάμενος πρὸς ἀνθίαν. Μισθοῦ γὰρ ἀνθρώπων τις ἄνθρωπον φιλεῖ. Ὁ μέν τις ἀμπέλους τρυγῶν, ὁ δ’ ἀμέργων τὰς ἐλάας. Μετὰ τὴν ἀποβολὴν τοῦ Κλέωνος εὐθέως [μέγ’] ὑπερέβαλλεν ὁ κεραμεὺς Ὑπέρβολος. Εἶτά μοι σκάπτων ἐρεῖ ἐφ’ οἷς γεγόνασιν αἱ διαλύσεις· ταῦτα γάρ πολυπραγμονῶν νῦν ὁ κατάρατος περιπατεῖ. Ἔχει τελευτὴν ἧσπερ οὕνεκ’ ἐγένετο.